Ἀδ. Κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν ᾤχετ', οὐ γὰρ ἦν ὑβριστής· A
Οὐδ' ἡδὺς ἐν τοῖς στρώμασι, τὴν νύκτα παννυχίζειν.
Γυνὴ δὲ σιναμωρουμένη χαίρει. σὺ δ' εἶ κρόνιππος.
Σκέψαι γὰρ ὦ μειράκιον ἐν τῷ σωφρονεῖν ἅπαντα
Ἄνεστιν, ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι. B
Παίδων. γυναικῶν. κοττάβων. ὄψων. πότων. κιχλισμῶν.
Καίτοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς;
Εἶεν. πάρειμ' ἐντεῦθεν ἐς τὰς τῆς φύσεως ἀνάγκας.
Ἥμαρτες. ἠράσθης. ἐμοίχευσας. τί, κατελήφθης; C
Ἀπόλωλας. ἀδύνατος γὰρ εἶ λέγειν. ἐμοὶ δ' ὁμιλῶν
Χρῶ τῇ φύσει. σκίρτα. γέλα. νόμιζε μηδὲν αἰσχρόν.
Μοιχὸς γὰρ ἢν τύχῃς ἁλούς, τάδ' ἀντερεῖς πρὸς αὐτόν,
Ὡς οὐδὲν ἠδίκηκας. εἶτ' εἰς τὸν Δί' ἐπανενεγκεῖν. D
Κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν.
Καίτοι σὺ θνητὸς ὤν, θεοῦ πῶς μεῖζον ἂν δύναιο;
Δι. Τί δ' ἢν ῥαφανιδωθῇ γε πειθόμενός σοι, τέφρα τε τιλθῇ;
Ἕξει τινὰ γνώμην λέγειν, τὸ μὴ εὐρύπρωκτος εἶ); E
Ἀδ. Ἢν δ' εὐρύπρωκτος ᾖ, τί πείσεται κακόν;
Δι. Τί μὲν οὖν ἂν ἔτι μεῖζον πάθοι τούτου ποτέ;

*IN. At illa relicto Peleo discessit: quòd proteruus*
*Non esset, neque suauis per totam noctem in lecto. At uxor*
*Viri coitu gaudet: tu verò ætate desipis. Nam*
*Videsis, mi adolescens, & perpende omnia, quæ in illa*
*Casta insunt vita: & quantis te voluptatibus eadem*
*Sis priuaturus: liberis, mulieribus, atque ludis,*
*Et cottabis, obsoniis, conuiuiis, cachinnis.*
*Quibus omnibus si orbêris: quid prosit tibi casta vita.*
*Sed bene nũc transeo hinc ad naturæ necessitatẽ.*
*Peccasti, amasti, adulterasti: si sis deprehensus,*
*Iam periisti illicò. neque enim eloquentia vales, sed*
*Si mecum versari optas, natura vtere, lude, ride,*
*Nihil pro turpi ducito. Nam si fueris adulter*
*Comprehensus, ea contra aduersarium tuum loqueris:*
*Quibus demonstres te nullam iniuriã cuiquam intulisse.*
*Sed & culpam in Iouem reiicies: quòd itẽ amore victus*
*Inierit fœminas: & quomodo tu, qui homuncio sis,*
*Plus possis, quàm Deus, qui summa cœli templa fulcit?*
IV. *Quid autem, si tibi obsequendo vulsuram patiatur,*
*Et raphano in anum immisso, pœnas exoluat: cinisque*
*In loca vulsa inspergatur: quas tum rationes habebit,*
*Quibus probet sibi nõ esse ampliatũ podicẽ? dic.*
IN. *Quid tum, etsi lato sit podice? quid nam mali est?*
IV. *At quid atrocius hoc vnquam possit perpeti?*

Σχόλια. Κᾆτ' ἀπολιποῦσά γ' αὐτόν.] φασὶν ὅτι τοὺς γινομένους παῖδας ἐκ τοῦ Πηλέως ἡ Θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν. καὶ πολλοὺς ἔκαυσε. καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα, ἐπέθηκεν εἰς τὸ πῦρ. καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν. ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη. ἄλλως. ἡ Θέτις εἰς λέβητα ὕδατος ἐνέβαλλε τοὺς ἐκ Πηλέως γινομένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν. ἑτέρους δὲ εἰς πῦρ ὡς Ἀπολλώνιός φησι. καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησὶν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τῷ περὶ Θεσσαλίας φησὶ Χείρωνα σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον βουλόμενον τὸν Πηλέα ἔνδοξον γενέσθαι, μεταπέμψαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διασπεῖραι ὅτι μέλλει γαμεῖν τὴν Θέτιν Πηλεὺς Διὸς διδόντος αὐτῷ. οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν. ταύτας φήμας παρετήρει τὸν χρόνον ἐν ᾧ ὕδατα πολλὰ καὶ πνεύματα ἐξαίσια, καὶ δίδωσι Πηλεῖ Φιλομήλαν. καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη. Σιναμωρουμένη.] ἀνδρὶ συνουσιάζουσα πρὸς μῖξιν. σινάμωρος δὲ ἡ μεμορουμένη. σίνος δὲ τὸ αἰδοῖον. ὅθεν καὶ σιλλωμός. σινάμωρον οὖν τὸ πορνικόν. Κρόνιππος δὲ ὁ μέγας λῆρος καὶ ἐπιτάσιν λαμβανομένου τοῦ ἵππου.

Bisetvs. Σιναμωρουμένη] τῆσδε τῆς λέξεως ἡ ἐτυμολογία τοιάδε τις εἶναι δοκεῖ. σῖνος τὸ αἰδοῖον. μορῆσαι δὲ κατὰ τὸν Ἡσύχιον, τὸ μερίσαι, καὶ διελεῖν. ὅθεν σιναμορέω οἱονεὶ τῷ σίνῳ μερίζω, καὶ διαιρῶ, τὸ τῆς γυναικὸς διαμερίζω, ὅπερ ἐν τῇ συνουσίᾳ ὑπὸ τοῦ ἀνδρὸς ποιεῖσθαι φαίνεται. καὶ γυνὴ σιναμορουμένη λέγεσθαι δύναται ἡ μίξεως χάριν τὸν ἄνδρα φέρουσα, τουτέστιν αὐτῷ μιγνυμένη. ἐξ ὧν δῆλον τὴν λέξιν διὰ τοῦ ο μᾶλλον, ἢ διὰ τοῦ ω μεγάλου γραπτέον.

Σχόλια. Κοττάβων.] ἐν συμποσίῳ παίγνιον. ἦν δὲ τοιοῦτον. ἐτίθεσαν λέβητα καὶ τὸ λείψανον τοῦ πόματος ἐνέβαλον. καὶ κτύπον μέγαν ἀπετέλουν καὶ ἐν τούτοις. Ἀδύνατος γὰρ] οὐ γὰρ δυνατὸς εἶ λόγοις νικῆσαι